# Σ Χ Ο Λ.

10. Πρέπουσα] κοσμηθεῖσα.

20. Ἰαλτὸς] ὑπὸ Κλυταιμνήςρας πεμφθεῖσα· (Od.) ἐπεὶ προΐαλλε συβώτης. Σὺν κύπτω] σὺν κοπετῷ· ὅπως ἐναγίζουσα συγκόψωμαι καὶ θρηνήσω. Πρέπει] διαφαίνεται. Ἄλοκι] αὔλακι, τομῇ. Βόσκεται κέαρ] ἀντὶ τοῦ, τρέφομαι τῷ θρήνῳ. Λινοφθόροι] τὰ λίνα διαφθείρουσαι· τὸ ἑξῆς, οἱ δὲ ςολισμοὶ τῶν ὑφασμάτων πρὸς τοῖς ςέρνοις, λινοφθόροι λακίδες ἐῤῥάγησαν. Ὑπ᾽ ἄλγεσι] ὑπὸ τῶν κοπετῶν.

30. Τορὸς] σαφής. Ὀρθόθριξ] ὀρθοῦσθαι ποιῶν τὰς τρίχας. Ὀνειρόμαντις] δι᾽ ὀνείρων τοῖς δόμοις μαντευόμενος. Ἐξ ὕπνου] ἀντὶ τοῦ, δι᾽ ὕπνου. Ἀωρόνυκτον] κατὰ τὸ μεσονύκτιον. Μυχόθεν ἔλακε] ἐκ τῶν τῆς καρδίας μυχῶν περισσῶς τῷ φόβῳ ἀναλακεῖν καὶ βοῆσαι τὴν Κλυταιμνήςραν ἐποίησεν ὁ σαφὴς φόβος, δι᾽ ὀνείρων μαντευόμενος. Γυναικείοισιν] οἱονεὶ, τοῖς ἐξερημμένοις τοῦ κουριδίου ἀνδρός. Ὑπέγγυοι] ἀληθεῖς, θεοφόρητοι, τὴν ἀπόφασιν ἐγγυώμενοι· ἤ, οἱ ἐκ θεῶν ἠσφαλισμένοι τὴν μαντείαν. Περιθύμως] ὑπερβαλλόντως.